03/10/2021

Ευαγγέλιο της Κυριακής

/ Πνευματικά Αποσπάσματα

Ευαγγελική περικοπή της Κυριακής Β’ Λουκά, 03/10/2021

Λουκ. στ’ 31-36

Ο Κύριος κηρύττει την αγάπη προς τους εχθρούς

Εἶπεν ὁ Κύριος· 31 καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. 32 καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι. 33 καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι. 34 καὶ ἐὰν δανείζητε παρ᾽ ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν ἵνα ἀπολάβωσι τὰ ἴσα. 35 πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν ἀπελπίζοντες, καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τούς ἀχαρίστους καὶ πονηρούς. 36 Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί.

Απόδοση στη Νέα Ελληνική

Είπε ο Κύριος: 31 “Να φέρεστε προς τους άλλους ανθρώπους, όπως θα θέλατε να φερθούν σε σας. 32 Εάν αγαπάτε μόνο εκείνους που σας αγαπούν, ποια χάρη έχετε; Και οι αμαρτωλοί αγαπούν εκείνους που τους αγαπούν. 33 Και εάν κάνετε καλό σ΄ εκείνους μόνο που σας κάνουν καλό, ποια χάρη έχετε; Και οι αμαρτωλοί το ίδιο κάνουν. 34 Και εάν δανείζετε μόνο σ΄ εκείνους, από τους οποίους ελπίζετε να τα πάρετε, ποια χάρη έχετε; Και οι αμαρτωλοί δανείζουν στους αμαρτωλούς, για να πάρουν πίσω το ίδιο ποσό. 35 Αλλά εσείς να αγαπάτε τους εχθρούς σας και να κάνετε καλό και να δανείζετε όπου δεν ελπίζετε σε επιστροφή και η ανταμοιβή σας θα είναι μεγάλη και θα είστε υιοί του Υψίστου, διότι αυτός είναι καλός προς τους αχαρίστους και κακούς. 36 Να είστε, λοιπόν, φιλεύσπλαχνοι καθώς και ο Πατέρας σας είναι φιλεύσπλαχνος”.